**ἀντιστροφικός**

Schol. in Aristoph. *prol.* (p. 38. 115 sqq. Koster) τῶν δὲ λυρικῶν συγγραμμάτων τρία ἦσαν τὰ μέρη· στριφικὸν καὶ ἀντιστροφικὸν λόγια, ἑκάτερον ἑκατέρῳ ἰσαρίθμους ἔχον τοῦς στίχους, καὶ μέτρων δὲ τῶν αὐτῶν· πρὸς τοῖς στροφικοῖς δὲ καὶ ἀντιστροφικοῖς τρίτον ἦν μέρος τὸ ἐπῳδικὸν λόγιον, ὁμωνύμως καὶ ταῦτα λεγόμενα τοῖς ἑαυτῶν πρακτικοῖς, τῇ τε στροφῇ καὶ ἀντιστρόφῳ καὶ ἐπῳδῷ καὶ ἐξελεύσει καὶ ἐπιλόγῳ.

Schol. in Aristoph. *Ach.* 284a (p. 48. 14 sqq. Wilson) vet (ad vv. 284-346) διπλῆ· εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους, ἐκ στίχων δύο τροχαικῶν τετραμέτρων καταληκτικῶν καὶ κώλων η′· ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶ <στίχος> ἐν ἐκθέσει †κατὰ τὸ ἴσον τοῖς χορικοῖς ἃ ποιεῖ δοχμὸν συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν†. τῷ δὲ δικώλῳ τούτῳ <ἀντιστροφικὸν> τὸ μὲν πρῶτόν ἐστιν (v. 336)

ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα;

τὸ δὲ τῆς δευτέρας· (v. 342) ‘οὔτοι ἴσοι χαμαί’. ἕπεται δὲ τοῖς δυσὶ κώλοις στίχος τροχαικὸς ὅδε· (v. 286) ‘ἀντὶ ποίας αἰτίας’ καὶ ἐν εἰσθέσει τὰ λοιπὰ κῶλα ς′, παιωνικὰ δίρρυθμα ΕΓ. [*R.S.*]